ἢ ὁποιωνοῦν. εἶτα δὲ προβαίνων ὁ χρόνος

col. II ταῖς ἐπινοίαις αὐτῶν ἢ τῶν μετ᾽ αὐτοὺς ἐνέβαλεν καὶ τὸν ἱστόν. εἰς οὖν οὐδεμίαν τέχνην [ὡς ο]ὐδὲ ταύτας, οὔτ᾽ ἄλλο̣ν τινὰ θεῶν οὔτε τὴν Ἀθηνᾶν παραλημπτ̣έον· πάσας γὰρ ἐγέννησαν αἱ χρεῖαι καὶ περιπτώσεις μετὰ τοῦ χρόνου. καὶ τῶν φθόγγων δὲ ἕνεκεν (λέγω δὲ τῶν τε ὀνομάτων καὶ τῶν ῥημάτων ὧν

col. III ἐποιήσαντο τὰς πρώτας ἀναφθ̣ένξεις οἱ ἀπὸ̣ γῆς φύντες [ἄνθρω]ποι) μήτε τὸν Ἑρμ̣ῆν παραλαμβάνωμεν εἰς διδασκαλ̣ίαν, ὥς φασίν τινες — περιφανὴς γὰρ αὕτη γε ἀδολεσχία —